ταρ τὴν καχῶν. καὶ τὴν λοιπὴν ... καὶ τὴν τρί-
τὴν ἑτέραν :-

μη Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων πρώτην· ἐκκείσθωσαν δύ-
ο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ· ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν
τὸν ΑΒ πρὸς μὲν τὸν ΒΓ λόγον ἔχειν ὅν, τετράγωνος ἀ-
ριθμὸς πρὸς τετράγωνον ἀριθμόν· πρὸς δὲ τὸν ΓΑ λό-
γον μὴ ἔχειν ὅν, τετράγωνος ἀριθμὸς πρὸς τετράγω-
νον ἀριθμόν· καὶ ἐκκείσθω τις ῥητὴ ἡ Δ· καὶ τῇ Δ
σύμμετρος ἔστω μήκει ἡ ΕΖ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΖ· καὶ
γεγονέτω ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως τὸ
ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ· τὸ ἀπὸ τῆς ΕΖ
ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει ὅν, ἀριθμὸς
πρὸς ἀριθμόν· ὥστε σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΕΖ
τῷ ἀπὸ τῆς ΖΗ· καὶ ἐστὶν ῥητὴ ἡ ΕΖ· ῥητὴ ἄρα καὶ
ἡ ΖΗ· καὶ ἐπεὶ ὁ ΒΑ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει ὅν, τετρά-
γωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδὲ τὸ
ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει ὅν,
τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀ-
σύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΖΗ μήκει· αἱ ΕΖ, ΖΗ [ῥηταί εἰσι δυνάμει] μόνον
σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΗ· λέγω
ὅτι καὶ πρώτη· ἐπεὶ γάρ ἐστιν ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς
τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ·
μείζων δὲ ὁ ΒΑ τοῦ ΑΓ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς
ΕΖ τοῦ ἀπὸ τῆς ΖΗ· ἔστω οὖν τῷ ἀπὸ τῆς ΕΖ ἴσα
τὰ ἀπὸ τῶν ΖΗ, Θ· καὶ ἐπεί ἐστιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ,
οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ· ἀνα-

στρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΑΒ πρὸς τὸν ΒΓ· οὕτως τὸ ἀπὸ τῆς
ΕΖ πρὸς τὸ ἀπὸ τῆς Θ· ὁ δὲ ΑΒ πρὸς ΒΓ λόγον ἔχει ὅν
τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ
ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει ὅν, τε-
τράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· σύμ-
μετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ Θ μήκει· ἡ ΕΖ ἄρα τῆς ΖΗ
μεῖζον δύναται
τῷ ἀπὸ συμμέ-
τρου ἑαυτῇ· καὶ
εἰσὶν ῥηταὶ αἱ ΕΖ
ΖΗ καὶ σύμμετρος
ἡ ΕΖ τῇ Δ μήκει·
ἡ ΕΗ ἄρα ἐκ δύο
ὀνομάτων ἐστὶ πρώτη :-



μθ Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων δευτέραν· ἐκκείσθωσαν δύ-
ο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ· ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν
τὸν ΑΒ πρὸς μὲν τὸν ΒΓ λόγον ἔχειν ὅν, τετράγωνος
ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· πρὸς δὲ τὸν ΓΑ
λόγον μὴ ἔχειν ὅν, τετράγωνος ἀριθμὸς πρὸς τετρά-
γωνον ἀριθμόν· καὶ ἐκκείσθω ῥητὴ ἡ Δ· καὶ τῇ Δ
σύμμετρος ἔστω ἡ ΖΗ μήκει· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΗ·
γεγονέτω δὴ καὶ ὡς ὁ ΓΑ ἀριθμὸς πρὸς τὸν ΑΒ, οὕ-
τως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΖΕ· σύμμετρον
ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΗΖ τῷ ἀπὸ τῆς ΖΕ· ῥητὴ ἄ-
ρα ἐστὶ καὶ ἡ ΖΕ· καὶ ἐπεὶ ὁ ΓΑ ἀριθμὸς πρὸς τὸν ΑΒ λό-
γον οὐκ ἔχει ὅν, τετράγωνος ἀριθμὸς πρὸς τετράγω-

BIBLIOTHECA BODLEIANA